MASTER
NEGATIVE
93-81642-16

Funded by the
NATIONAL ENDOWMENT FOR THE HUMANITIES

AUTHOR:

ARISTOTLE

TITLE:

ARISTOTELIS POLITICORUM LIBRI...

PLACE:

JENA

DATE:

1883

Master Negative #
93-81642-16

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

Schmidt, Moriz, 1823-1888, tr.
Aristoteles. (Politica 1883 Gr. & Ger.)
...Aristotelis Politicorum libri primi p. II.
[1883].


Vol. of pamphlets.


Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35 REDUCTION RATIO: 12x
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 8.6.93 INITIALS SS
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT

BEST COPY
AVAILABLE






AIIM

Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910


301/587-8202




Centimeter



Inches







MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

INDEX
SCHOLARUM HIBERNARUM

PUBLICE ET PRIVATIM

IN

UNIVERSITATE LITTERARUM IENENSI

INDE A DIE XVI M. OCTOBRIS MDCCCLXXXII
USQUE AD DIEM XVII M. MARTII A. MDCCCLXXXIII

HABENDARUM



INEST ARISTOTELIS POLITICORUM LIBRI PRIMI P. II

EX RECENSIONE

MAURICII SCHMIDT ANTIQUARUM LITTERARUM PROFESSORIS PUBLICI ORDINARII.

IENAE

PROSTAT IN LIBRARIA A. NEUENHAHNI.

1882/83.

Τὸ γὰρ ἄρχειν καὶ ἄρχεσθαι οὐ μόνον τῶν ἀναγκαίων ἀλλὰ καὶ τῶν συμφερόντων ἐστίν. καὶ εὐθὺς ἐκ γενετῆς ἔνια διέστηκε τὰ μὲν ἐπὶ τὸ ἄρχεσθαι, τὰ δ' ἐπὶ τὸ ἄρχειν. [καὶ εἴδη πολλὰ καὶ ἀρχόντων καὶ ἀρχομένων ἐστίν, καὶ ἀεὶ βελτίων ἡ ἀρχὴ ἡ τῶν βελτιόνων ἀρχομένων, οἷον ἀνθρώπων ἢ θηρίων. τὸ γὰρ ἀποτελούμενον ἀπὸ τῶν βελτιόνων βέλτιον ἔργον· ὅπου δὲ τὸ μὲν ἄρχει τὸ δ' ἄρχεται, ἔστι τι τούτων ἔργον.*)] ὅσα γὰρ ἐκ πλειόνων συνέστηκε καὶ γίνεται ἕν τι κοινὸν, εἴτε ἐκ συνεχῶν εἴτε ἐκ διῃρημένων, ἐν ἅπασιν ἐμφαίνεται τὸ ἄρχον καὶ τὸ ἀρχόμενον. [καὶ τοῦτ' ἐκ τῆς ἁπάσης φύσεως ἐνυπάρχει τοῖς ἐμψύχοις.] καὶ γὰρ ἐν τοῖς μὴ μετέχουσι ζωῆς ἔστι τις ἀρχὴ, οἷον ἁρμονίας· ἀλλὰ ταῦτα μὲν ἴσως ἐξωτερικωτέρας ἐστὶ σκέψεως, τὸ δὲ ζῷον πρῶτον συνέστηκεν ἐκ ψυχῆς καὶ σώματος, ὧν τὸ μὲν ἄρχον ἐστὶ φύσει τὸ δ' ἀρχόμενον. δεῖ δὲ σκοπεῖν ἐν τοῖς κατὰ φύσιν ἔχουσι μᾶλλον τὸ φύσει καὶ μὴ ἐν τοῖς διεφθαρμένοις. διὸ καὶ τὸν βέλτιστα διακείμενον καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν ἄνθρωπον θεωρητέον, ἐν ᾧ τοῦτο δῆλον· τῶν γὰρ μοχθηρῶν ἢ μοχθηρῶς ἐχόντων δόξειεν ἂν ἄρχειν πολλάκις τὸ σῶμα τῆς ψυχῆς, διὰ τὸ φαύλως καὶ παρὰ φύσιν ἔχειν. ἔστι δ' οὖν, ὥσπερ λέγομεν,

*) Haec pertinere videntur ad cap. 13, 1259 b. 18.

Ueber- und Unterordnung ist nothwendig und hat ihr Gutes: und gleich von Haus aus verrathen einige entgegengesetzte Neigungen, die einen zur Unterwürfigkeit, die andern zum Unterwerfen. [Auch der Arten von Regenten und Unterthanen gibt es viele: jederzeit aber wird dasjenige Regiment das bessere sein, dem die Besseren (lieber z. B. Menschen als Thiere) unterstehen. Denn die mit den besseren Mitteln erzielte Leistung ist die bessere, wo aber der eine Theil sich über- der andere unterordnet, findet ihrerseits eine Leistung statt.] Denn was sich auch aus mehren, gleichviel ob zusammenhängenden oder getrennten Bestandtheilen bilden mag und ein gemeinsames wird, weist alles ein herrschendes und sich unterordnendes Element auf: [und zwar findet sich diese Erscheinung aus dem Gesammtbereich der Natur bei beseelten Wesen] denn auch im Bereich dessen, was am Leben keinen Theil hat, findet Herrschaft statt: indessen liegt das vielleicht ausser den Grenzen der gegenwärtigen Untersuchung. Die Grundbestandtheile des Lebewesens aber sind Leib und Seele, eins von Natur der Herr wie das andre der Diener. Bezüglich des Natürlichen hat sich aber die Untersuchung mehr an das naturgemäss beschaffene und nicht an das Entartete zu halten, und darum ist auch der an Leib und Seele best constituirte Mensch ins Auge zu fassen, an dem dies Sachverhältniss klar ist, während bei den Verwahrlosten in Folge naturwidrigen Verhaltens gar manchmal der Leib die Seele zu beherrschen scheint. Jedesfalls lässt sich, wie gesagt, zuerst an Lebewesen ein despo-

πρῶτον ἐν ζώῳ θεωρῆσαι καὶ δεσποτικὴν ἀρχὴν καὶ πολιτικὴν. ἡ μὲν γὰρ ψυχὴ τοῦ σώματος ἄρχει δεσποτικὴν ἀρχὴν, ὁ δὲ νοῦς τῆς ὀρέξεως πολιτικὴν καὶ βασιλικὴν, ἐν οἷς φανερόν ἐστιν ὅτι κατὰ φύσιν καὶ συμφέρον τὸ ἄρχεσθαι τῷ σώματι ὑπὸ τῆς ψυχῆς καὶ τὸ παθητικῷ μορίῳ ὑπὸ τοῦ νοῦ καὶ τοῦ μορίου τοῦ λόγον ἔχοντος, τὸ δ' ἐξ ἴσου ἢ ἀνάπαλιν βλαβερὸν πᾶσιν. πάλιν ἐν ἀνθρώπῳ καὶ τοῖς ἄλλοις ζῴοις ὡσαύτως. τὰ μὲν γὰρ ἥμερα τῶν ἀγρίων βελτίω τὴν φύσιν, τούτοις δὲ πᾶσι βέλτιον ἄρχεσθαι ὑπ' ἀνθρώπου· τυγχάνει γὰρ σωτηρίας οὕτως. ἔτι δὲ τὸ ἄρρεν πρὸς τὸ θῆλυ φύσει τὸ μὲν κρεῖττον τὸ δὲ χεῖρον, καὶ τὸ μὲν ἄρχον τὸ δὲ ἀρχόμενον. τὸν αὐτὸν δὲ τρόπον ἀναγκαῖον εἶναι καὶ ἐπὶ πάντων ἀνθρώπων. ὅσοι μὲν οὖν τοσοῦτον διεστᾶσιν ὅσον ψυχὴ σώματος καὶ ἄνθρωπος θηρίου, (διάκεινται δὲ τοῦτον τὸν τρόπον, ὅσων ἐστὶν ἔργον ἡ τοῦ σώματος χρῆσις καὶ τοῦτ' ἔστιν ἀπ' αὐτῶν βέλτιστον) οὗτοι μέν εἰσι φύσει δοῦλοι, οἷς βέλτιόν ἐστιν ἄρχεσθαι ταύτην τὴν ἀρχὴν, εἴπερ καὶ τοῖς εἰρημένοις. ἔστι γὰρ φύσει δοῦλος ὁ δυνάμενος ἄλλου εἶναι (διὸ καὶ ἄλλου ἐστὶν) καὶ ὁ κοινωνῶν λόγου τοσοῦτον, ὅσον αἰσθάνεσθαι, ἀλλὰ μὴ ἔχειν· τὰ γὰρ ἄλλα ζῷα οὐ λόγῳ αἰσθανόμενα ἀλλὰ παθήμασιν ὑπηρετεῖ. καὶ ἡ χρεία δὲ παραλλάττει μικρὸν. ἡ γὰρ πρὸς τἀναγκαῖα τῷ σώματι βοήθεια γίνεται παρ' ἀμφοῖν, παρά τε τῶν δούλων καὶ παρὰ τῶν ἡμέρων ζῴων. βούλεται μὲν οὖν ἡ φύσις καὶ τὰ σώματα διαφέροντα ποιεῖν τὰ τῶν ἐλευθέρων καὶ τῶν δούλων, τὰ μὲν ⟨ταπεινὰ καὶ⟩ ἰσχυρὰ πρὸς τὴν ἀναγκαίαν χρῆσιν, τὰ δ' ὀρθὰ καὶ ἄχρηστα πρὸς τὰς τοιαύτας ἐργασίας, ἀλλὰ χρήσιμα πρὸς πολιτικὸν βίον [οὗτος δὲ καὶ γίνεται διηρημένος εἴς τε τὴν πολεμικὴν χρείαν καὶ τὴν εἰρηνικὴν]; συμβαίνει δὲ πολλάκις τοὐναντίον, τοὺς μὲν τὰ σώματ' ἔχειν ἐλευθέρων τοὺς δὲ τὰς ψυχάς· ἐπεὶ τοῦτό γε φανερὸν, ὡς εἰ τοσοῦτον γένοιντο διάφοροι τὸ σῶμα μόνον, ὅσον αἱ τῶν θεῶν εἰκόνες, τοὺς ὑπολειπομένους πάντες φαῖεν ἂν ἀξίους εἶναι τούτοις δουλεύειν. εἰ δ' ἐπὶ τοῦ σώματος τοῦτ' ἀληθὲς, πολὺ δικαιότερον ἐπὶ τῆς ψυχῆς τοῦτο διωρίσθαι· ἀλλ' οὐχ ὁμοίως ῥάδιον ἰδεῖν τό τε τῆς ψυχῆς κάλλος καὶ τὸ τοῦ σώματος. Ὅτι μὲν τοίνυν εἰσὶ φύσει τινὲς οἳ μὲν ἐλεύθεροι οἳ δὲ δοῦλοι, φανερὸν, οἷς καὶ συμφέρει τὸ δουλεύειν καὶ δίκαιον ἐστίν. ὅτι δὲ καὶ οἱ τἀναντία φάσκοντες τρόπον τινὰ λέγουσιν ὀρθῶς, οὐ χαλεπὸν ἰδεῖν. Διχῶς γὰρ λέγεται τὸ δουλεύειν καὶ ὁ δοῦλος. ἔστι γάρ τις καὶ κατὰ νόμον δοῦλος καὶ δουλεύων. ὁ γὰρ νόμος ὁμολογία τίς ἐστιν, ἐν ᾧ τὰ κατὰ πόλεμον κρατούμενα τῶν κρατούντων εἶναι φασίν. τοῦτο δὴ τὸ δίκαιον πολλοὶ τῶν ἐν τοῖς νόμοις ὥσπερ ῥήτορα γράφονται παρανόμων, ὡς δεινὸν εἰ τοῦ βιάσασθαι δυναμένου καὶ κατὰ δύναμιν κρείττονος ἔσται δοῦλον καὶ ἀρχόμενον τὸ βιασθέν. καὶ τοῖς μὲν οὕτως δοκεῖ, τοῖς δὲ ἐκείνως, καὶ τῶν σοφῶν. αἴτιον δὲ ταύτης τῆς ἀμφισβητήσεως, καὶ ὃ ποιεῖ τοὺς λόγους ἐπαλλάττειν, ὅτι τρόπον τινὰ ἀρετὴ τυγχάνουσα χορηγίας καὶ βιάζεσθαι δύναται μάλιστα, καὶ ἔστιν ἀεὶ τὸ κρατοῦν ἐν ὑπεροχῇ ἀγαθοῦ τινός, ὥστε δοκεῖν μὴ ἄνευ ἀρετῆς εἶναι τὴν βίαν, ἀλλὰ περὶ τοῦ δικαίου μόνον εἶναι τὴν ἀμφισβήτησιν. διὰ γὰρ τοῦτο τοῖς μὲν εὔνοια δοκεῖ τὸ δίκαιον εἶναι, τοῖς δ' αὐτὸ τοῦτο δίκαιον, τὸ τὸν κρείττονα ἄρχειν, ἐπεὶ διαστάντων γε χωρὶς τούτων τῶν λόγων οὔτε ἰσχυρὸν οὐδὲν ἔχουσιν οὔτε πιθανὸν ἅτεροι λόγοι, ὡς οὐ δεῖ τὸ βέλτιον κατ' ἀρετὴν ἄρχειν καὶ δεσπόζειν. ὅλως δ'

tisches und politisches Regiment wahrnehmen. Denn die Seele übt über den Leib eine despotische, der Verstand über das Begehrungsvermögen eine politische und königliche Herrschaft aus: und daraus erhellt, dass es für den Leib ebenso naturgemäss und wohlthätig ist sich der Seele, wie für den leidenschaftlichen Theil sich dem Verstande und rationellen Theile unterzuordnen, eine Gleichstellung aber oder das umgekehrte Verhältniss für alle Theile ein Nachtheil ist. Weiter lässt sich am Menschen und den übrigen Geschöpfen dieselbe Wahrnehmung machen. Sind schon die zahmen ihrer Natur nach besser als die wilden, ist es doch auch für alle diese besser sich dem Menschen unterzuordnen, da dies der Weg zu ihrer Erhaltung ist. So ist ferner, wenn wir Mann und Weib vergleichen, jenes das Stärkere, dies das Schwächere, jenes das über- dies das untergeordnete. In derselben Weise gestaltet sich aber nothwendig das Verhältniss zwischen allen Menschen. Alle bei denen der Abstand so gross ist, wie zwischen Seele und Körper, Mensch und Thier, (in dieser Lage aber befinden sich alle, deren Leistung in der Nutzbarkeit ihres Leibes besteht, dem Besten was man von ihnen hat) das sind geborne Sklaven, für die es besser ist sich dieser auch für die angeführten Objekte wohlthätigen Herrschaft zu unterwerfen. Denn geborner Sklave ist jeder, der [einem andern angehören kann, und eben darum auch angehört und] an der Vernunft nur soweit Theil hat, als er sie spürt, ohne sie zu besitzen; während die übrigen Thiere ohne Empfindung für die Vernunft nicht ihr, sondern Affekten dienen. Ihr Nutzen unterscheidet sich wenig: von beiden, sowohl den Sklaven wie den Hausthieren, haben wir nur die zur Leibesnothdurft erforderliche Hilfsleistung. In der Absicht der Natur liegt es übrigens auch die Leiber der Freien und Knechte unterschiedlich zu bilden, diese demüthig und kräftig zur täglichen Frohne, jene aufgerichtet und ebenso unbrauchbar zu dergleichen Hantirungen, wie verwendbar fürs öffentliche Leben [das sich wieder in das kriegerische und friedliche Treiben zerlegt]: — nur tritt zuweilen auch das Umgekehrte ein, dass einige von den Freien nur den Leib andre nur die Seele besitzen: aber es liegt ja auf der Hand, dass wenn sie sich äusserlich nur soweit unterschieden, wie unsre Götterbilder, alle Welt zugeben würde, dass die hintanstehenden ihnen zu frohnden verdienten. Hat dies aber hinsichts des Körpers seine Richtigkeit, um so berechtigter ist die gleiche Annahme hinsichts der Seele, nur dass Seelenschönheit nicht so leicht ins Auge fällt, als Körperschönheit. Dass es also von Natur einerseits Freie andrerseits Sklaven gibt, für welche frohnden das Zuträgliche und Rechtmässige ist, leuchtet ein: dass aber auch die gegentheilige Behauptung in gewissem Sinne richtig ist, lässt sich unschwer einsehen. Man braucht **δοῦλος** und **δουλεύειν** in zwiefacher Bedeutung. Es gibt auch dem Herkommen nach Sklaven und Frohnende; dies Herkommen ist aber eine Uebereinkunft, welche den im Krieg überwundenen dem Ueberwinder als Eigenthum zuspricht. Gegen diesen Rechtssatz nun erheben viele Gesetzkundige, wie gegen einen Volksredner die Klage der Gesetzwidrigkeit, da es unerhört sei, dass der Vergewaltigte Sklave und Unterthan des an Kraft Stärkeren und zur Vergewaltigung befähigten sei. Selbst unter den Denkern vertreten einige diese andre jene Ansicht. Der Grund dieses Streits und worin sich die Meinungen begegnen ist aber der Umstand, dass grade die Tüchtigkeit, sobald sie zur Führerschaft gelangt, gewissermassen Gewalt zu üben vermag, und der Obsiegende stets einen Vorzug voraus hat, so dass es den Anschein gewinnt, als gäbe es ohne Tüchtigkeit keine Gewalt, und der Streit drehe sich nur darum, was recht sei.

*   *   *

ἀντεχόμενοί τινες, ὡς οἴονται δικαίου τινός (ὁ γὰρ νόμος δίκαιόν τι) τὴν κατὰ πόλεμον δουλείαν τιθέασι δικαίαν, ἅμα δὲ οὔ φασιν. τήν τε γὰρ ἀρχὴν ἐνδέχεται μὴ δικαίαν εἶναι τῶν πολέμων, καὶ τὸν ἀνάξιον δουλεύειν οὐδαμῶς ἂν φαίη τις δοῦλον εἶναι· εἰ δὲ μή, συμβήσεται τοὺς εὐγενεστάτους εἶναι δοκοῦντας δούλους εἶναι καὶ ἐκ δούλων, ἐὰν συμβῇ κρατηθῆναι ληφθέντας. διόπερ αὑτοὺς οὐ βούλονται λέγειν δούλους, ἀλλὰ τοὺς βαρβάρους. καίτοι ὅταν τοῦτο λέγωσιν, οὐδὲν ἄλλο ζητοῦσιν ἢ τὸ φύσει δοῦλον, ὅπερ ἐξ ἀρχῆς εἴπομεν. ἀνάγκη γὰρ εἶναί τινας φάναι τοὺς μὲν πανταχοῦ δούλους, τοὺς δὲ οὐδαμοῦ. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ εὐγενείας· αὑτοὺς μὲν γὰρ οὐ μόνον παρ' αὑτοῖς εὐγενεῖς, ἀλλὰ πανταχοῦ νομίζουσιν, τοὺς δὲ βαρβάρους οἴκοι μόνον, ὡς ὄν τι τὸ μὲν ἁπλῶς εὐγενὲς καὶ ἐλεύθερον, τὸ δ' οὐχ ἁπλῶς, ὥσπερ ἡ Θεοδέκτου Ἑλένη φησί·

θείων δ' ἀπ' ἀμφοῖν ἔκγονον ῥιζωμάτων
τίς ἂν προσειπεῖν ἀξιώσειεν λάτριν;

ὅταν δὲ τοῦτο λέγωσιν, οὐδενὶ ἀλλ' ἢ ἀρετῇ καὶ κακίᾳ διορίζουσι τὸ δοῦλον καὶ τὸ ἐλεύθερον καὶ τοὺς εὐγενεῖς καὶ τοὺς δυσγενεῖς. ἀξιοῦσι γάρ, ὥσπερ ἐξ ἀνθρώπων καὶ ἐκ θηρίων γίνεσθαι θηρίον, οὕτω καὶ ἐξ ἀγαθῶν ἀγαθὸν ⟨καὶ ἐκ δούλων δοῦλον⟩· ἡ δὲ φύσις βούλεται μὲν τοῦτο ποιεῖν, πολλάκις μέντοι οὐ δύναται.

Ὅτι μὲν οὖν ἔχει τινὰ λόγον ἡ ἀμφισβήτησις καὶ οὐκ εἰσὶ φύσει τινὲς οἱ μὲν δοῦλοι οἱ δὲ ἐλεύθεροι, δῆλον. ⟨Δῆλον δὲ⟩ καὶ ὅτι ἔν τισι διώρισται τὸ τοιοῦτον, ὧν συμφέρει τῷ μὲν τὸ δουλεύειν, τῷ δὲ τὸ δεσπόζειν καὶ δίκαιον καὶ δεῖ τὸ μὲν ἄρχεσθαι τὸ δ' ἄρχειν, ἣν πεφύκασιν ἀρχὴν ἄρχειν, ὥστε καὶ δεσπόζειν, τὸ δὲ κακῶς ἀσυμφόρως ἐστὶν ἀμφοῖν (τὸ γὰρ αὐτὸ συμφέρει τῷ μέρει καὶ τῷ ὅλῳ καὶ σώματι καὶ ψυχῇ, ὁ δὲ δοῦλος μέρος τι τοῦ δεσπότου, οἷον ἔμψυχόν τι τοῦ σώματος κεχωρισμένον δὲ μέρος τοῦ σώματος. διὸ καὶ συμφέρον ἐστί τι καὶ φιλία δούλῳ καὶ δεσπότῃ πρὸς ἀλλήλους τοῖς φύσει τοιούτοις, τοῖς δὲ μὴ τοῦτον τὸν τρόπον ἀλλὰ κατὰ νόμον ἠξιωμένοις καὶ βιασθεῖσι τοὐναντίον).

1255 b 20—39. Ὁ μὲν οὖν δεσπότης οὐ λέγεται κατὰ ἐπιστήμην, ἀλλὰ τῷ τοιόσδε εἶναι, ὁμοίως δὲ καὶ ὁ δοῦλος καὶ ὁ ἐλεύθερος. ἐπιστήμη δ' ἂν εἴη καὶ δεσποτικὴ καὶ δουλική. δουλικὴ μέν, οἵαν περ ὁ ἐν ταῖς Συρακούσαις ἐπαίδευσεν (ἐκεῖ γὰρ λαμβάνων τις μισθὸν ἐδίδασκε τὰ ἐγκύκλια διακονήματα τοὺς παῖδας), εἴη δ' ἂν καὶ ἐπὶ πλεῖον τούτων μάθησις, οἷον ὀψοποιητικὴ καὶ τἆλλα τὰ τοιαῦτα γένη τῆς διακονίας. ἔστι γὰρ ἕτερα ἑτέρων τὰ μὲν ἐντιμότερα τὰ δ' ἀναγκαιότερα, καὶ κατὰ τὴν παροιμίαν „δοῦλος πρὸ δούλου, δεσπότης πρὸ δεσπότου“ αἱ μὲν οὖν τοιαῦται πᾶσαι δουλικαὶ ἐπιστῆμαί εἰσι. δεσποτικὴ δ' ἐπιστήμη ἐστὶν ἡ χρηστικὴ δούλων, ὁ γὰρ δεσπότης οὐκ ἐν τῷ κτᾶσθαι τοὺς δούλους ἀλλ' ἐν τῷ χρῆσθαι δούλοις. ἔστι δ' αὕτη ἡ ἐπιστήμη οὐδὲν μέγα ἔχουσα οὐδὲ σεμνόν. ἃ γὰρ τὸν δοῦλον ἐπίστασθαι δεῖ ποιεῖν, ἐκεῖνον δεῖ ταῦτα ἐπίστασθαι ἐπιτάττειν. διὸ ὅσοις ἐξουσία μὴ αὐτοὺς κακοπαθεῖν, ἐπίτροπος

Einige dagegen, die sich ihrer Meinung nach streng an den Rechtstitel halten, (ein solcher aber ist das Herkommen) erklären die in Folge des Kriegs eingetretene Sklaverei für berechtigt, nur nicht unbedingt. Denn da einmal der Anlass zum Kriege kein gerechter zu sein brauche, andrerseits jeder in Abrede stellen wird, dass wer unverdientermassen frohnt ein Sklave sei, weil sonst der Fall eintreten würde, dass Männer anerkannt erlauchter Abkunft Sklaven wären, wenn sie das Unglück betroffen hätte gefangen und verkauft zu werden, so wollen sie demgemäss den Ausdruck Sklaven nicht auf sich sondern auf die Barbaren angewendet wissen. Mit dieser Entscheidung kommen sie aber auf nichts andres hinaus, als auf unsre ursprüngliche Frage nach dem angebornen Sklaventhum: denn sie sind zu dem Zugeständniss gezwungen, dass es gewisse Leute gäbe die allerorten, andre die nie und nirgend Sklaven sind. In derselben Weise raisoniren sie über den Adel. Ihres Erachtens sind sie selbst allerdings nicht nur in der Heimath sondern allerorten adlig, die Barbaren aber nur daheim, als ob es Adel und Freiheit in unbedingtem und bedingtem Sinne gäbe, wie auch Theodektes seine Helena sprechen lässt:

Von beiden Seiten fliesst der Götter Blut in mir,
Wer wagts mich Magd zu nennen oder Dienerin?

Mit dieser Behauptung aber erklären sie Tüchtigkeit und Untüchtigkeit für die unterscheidenden Merkmale des Sklaven und Freien, des hoch- und niedriggebornen. Denn sie nehmen an, dass wie aus Menschen ein Mensch, aus Thieren ein Thier, so aus Tüchtigen Tüchtiges werde. Aber wenn auch die Natur dies beabsichtigt vermag sie es doch manchmal nicht durchzuführen.

Dass also der Streit eine gewisse Berechtigung hat, und dass einige nicht zu Sklaven oder Freien geboren sind ist klar: klar aber auch, dass bei einigen ein Unterschied dieser Art besteht, wonach dem einen Theil das Frohnen, dem andern das Dominiren erspriesslich und zukömmlich ist, und der eine sich unterordnen, der andre das Regiment, wozu die Natur ihn beanlagte, übernehmen, folglich dominiren muss; eine Misswirthschaft aber gegen beider Interesse ist (denn das Interesse von Theil und Ganzen geht zusammen, der Sklave aber ist ein Theil des Herrn, gleichsam ein lebendiger nur abgetrennter Theil seines Körpers, daher auch gegenseitige Anhänglichkeit im Interesse von Sklaven und Herren liegt, wenn sie von Natur in diese Beziehungen versetzt wurden, wenn nicht von Natur sondern durch den Kriegsbrauch und durch Vergewaltigung das Gegentheil).

Uebrigens heisst einer Herr Knecht Freier nicht auf Grund eines besondern Wissens, sondern auf Grund seiner Eigenschaften. Doch geben wir eine herrschaftliche und knechtische Wissenssphäre zu. Ein Wissen wie es jener Syrakusaner beibrachte (der gegen Honorar dortige Burschen für die ständigen Dienstleistungen anlernte) ist ein knechtisches: eine Erweiterung dieses Lehrstoffs aber wäre beispielsweise der Unterricht im Kochen und andern derartigen Dienstleistungen. Denn die Leistungen überbieten eine die andre theils an Vornehmheit, theils an Unentbehrlichkeit, und schon das Sprichwort sagt: Gar zweierlei ist Sklav und Sklav und Herr und Herr. Das sind nun alles knechtische Kenntnisse: das herrschaftliche Wissen aber betrifft die Verwendung der Sklaven: denn nicht im Besitze von Sklaven sondern ihrer Verwendung zeigt sich der Herr. Dies Wissen aber hat keinen grossen geschweige werthvollen Inhalt. Was der Sklave zu verrichten verstehen muss, muss eben jener anzuordnen verstehen. Braucht sich also einer dieser Mühe nicht selbst zu unterziehen, so übernimmt ein Verwalter

λαμβάνει ταύτην τὴν τιμὴν, αὐτοὶ δὲ πολιτεύονται ἢ φιλοσοφοῦσιν. [ἡ δὲ κτητικὴ ἑτέρα ἀμφοτέρων τούτων, οἷον [ἡ] δικαία πολεμική τις οὖσα [ἢ θηρευτική]. 1256 b 24—26. ᾗ δεῖ χρῆσθαι πρός τε τὰ θηρία καὶ τῶν ἀνθρώπων ὅσοι πεφυκότες ἄρχεσθαι μὴ θέλουσιν, ὡς φύσει δίκαιον ὄντα τοῦτον τὸν [θηρευτικὸν] πόλεμον [καὶ πρῶτον] 1255 b 39. περὶ μὲν οὖν δούλου καὶ δεσπότου τοῦτον διωρίσθω τὸν τρόπον.] 1255 b 15—20. Φανερὸν δὲ καὶ ἐκ τούτων, ὅτι οὐ ταυτόν ἐστι δεσποτεία καὶ πολιτική, οὐδὲ πᾶσαι ἀλλήλαις αἱ ἀρχαί, ὥσπερ τινὲς φασίν. ἣ μὲν γὰρ ἐλευθέρων φύσει ἣ δὲ δούλων ἐστίν, καὶ ἡ μὲν οἰκονομικὴ μοναρχία (μοναρχεῖται γὰρ πᾶς οἶκος) ἡ δὲ πολιτικὴ ἐλευθέρων καὶ ἴσων ἀρχή. 1259 a 39 ** καὶ γὰρ γυναικὸς ἄρχειν καὶ τέκνων, ὡς ἐλευθέρων μὲν ἀμφοῖν, οὐ τὸν αὐτὸν δὲ τρόπον τῆς ἀρχῆς, ἀλλὰ γυναικὸς μὲν πολιτικῶς τέκνων δὲ βασιλικῶς· τό τε γὰρ ἄρρεν τοῦ θήλεος ἡγεμονικώτερον, εἰ μή που συνέστηκε παρὰ φύσιν, καὶ τὸ πρεσβύτερον καὶ τέλειον τοῦ νεωτέρου καὶ ἀτελοῦς. ἐν μὲν οὖν ταῖς πολιτικαῖς ἀρχαῖς ταῖς πλείσταις μεταβάλλει τὸ ἄρχον καὶ τὸ ἀρχόμενον (ἐξ ἴσου γὰρ εἶναι βούλεται τὴν φύσιν καὶ διαφέρειν μηδὲν) ὅμως δὲ ὅταν τὸ μὲν ἄρχῃ τὸ δὲ ἄρχηται, ζητεῖ διαφορὰν εἶναι καὶ σχήμασι καὶ λόγοις καὶ τιμαῖς, ὥσπερ καὶ Ἄμασις εἶπε τὸν περὶ ποδανιπτῆρος λόγον· τὸ δ' ἄρρεν ἀεὶ πρὸς τὸ θῆλυ τοῦτον ἔχει τὸν τρόπον. ἡ δὲ τῶν τέκνων ἀρχὴ βασιλική· τὸ γὰρ γεννῆσαν καὶ κατὰ φιλίαν ἄρχον καὶ κατὰ πρεσβείαν ἐστίν, ὅπερ ἐστὶ βασιλικῆς εἶδος ἀρχῆς. διὸ καλῶς Ὅμηρος τὸν Δία προσηγόρευσεν εἰπών· „πατὴρ ἀνδρῶν τε θεῶν τε“ τὸν βασιλέα τούτων ἁπάντων [πατέρα εἰπών.] φύσει μὲν γὰρ τὸν βασιλέα διαφέρειν δεῖ, τῷ γένει δ' εἶναι τὸν αὐτόν· ὅπερ πέπονθε τὸ πρεσβύτερον πρὸς τὸ νεώτερον καὶ ὁ γεννήσας πρὸς τὸ τέκνον.

13. * **) Φανερὸν τοίνυν ὅτι πλείων ἡ σπουδὴ τῆς οἰκονομίας περὶ τοὺς ἀνθρώπους ἢ περὶ τὴν τῶν ἀψύχων κτῆσιν καὶ περὶ τὴν ἀρετὴν τούτων ἢ περὶ τὴν τῆς κτήσεως ὃν καλοῦμεν πλοῦτον, καὶ τῶν ἐλευθέρων μᾶλλον ἢ δούλων. πρῶτον μὲν οὖν περὶ δούλων ἀπορήσειεν ἄν τις, πότερον ἔστιν ἀρετή τις δούλου παρὰ τὰς ὀργανικὰς καὶ διακονικὰς ἄλλη τιμιωτέρα τούτων, οἷον σωφροσύνη καὶ ἀνδρία καὶ δικαιοσύνη καὶ τῶν ἄλλον τῶν τοιούτων ἕξεων, ἢ οὐκ ἔστιν οὐδεμία παρὰ τὰς σωματικὰς ὑπηρεσίας. ἔχει γὰρ ἀπορίαν ἀμφοτέρως. εἴτε γὰρ ἔστιν, τί διοίσουσι τῶν ἐλευθέρων; εἴτε μὴ ἔστιν ὄντων ἀνθρώπων καὶ λόγου κοινωνούντων ἄτοπον. σχεδὸν δὲ ταὐτόν ἐστιν τὸ ζητούμενον καὶ περὶ γυναικὸς καὶ παιδός, πότερον καὶ τούτων εἰσὶν ἀρεταὶ, καὶ δεῖ τὴν γυναῖκα σώφρονα εἶναι καὶ ἀνδρείαν καὶ δικαίαν, καὶ παῖς ἐστὶ καὶ ἀκόλαστος καὶ σώφρων, ἢ οὔ; καὶ καθόλου δὴ τοῦτ' ἐστὶν ἐπισκεπτέον περὶ ἀρχομένου φύσει καὶ ἄρχοντος, πότερον ἡ αὐτὴ ἀρετὴ ἢ ἑτέρα. εἰ μὲν γὰρ δεῖ ἀμφοτέρους μετέχειν καλοκαγαθίας, διὰ τί τὸν μὲν ἄρχειν δέοι ἄν, τὸν δὲ ἄρχεσθαι καθάπαξ; (οὐδὲ γὰρ τῷ μᾶλλον καὶ ἧττον οἷον τε διαφέρειν· τὸ μὲν γὰρ ἄρχειν καὶ ἄρχεσθαι εἴδει διαφέρει, τὸ δὲ μᾶλλον καὶ ἧττον οὐδὲν) εἰ δὲ τὸν μὲν δεῖ τὸν δὲ μὴ θαυμαστόν, εἴτε γὰρ ὁ ἄρχων μὴ ἔσται σώφρων καὶ δίκαιος, πῶς ἄρξει καλῶς; εἴτ' ὁ ἀρχόμενος, πῶς ἀρχθήσεται καλῶς; ἀκόλαστος γὰρ ὢν καὶ

*) Lacunam indicavi iis ut videtur explendam, quae leguntur p. 1254 a 24 καὶ εἴδη — 28 ἔργον. Possis Ἐπεὶ δὲ εἴδη πολλὰ ... ἔργον, φανερὸν [τοίνυν] ὅτι πλείων ἡ σπουδὴ κτλ.

dies Amt, er selbst aber lebt der Philosophie und dem Staate. [Die Ktetik aber, gleichsam eine berechtigte Polemik oder Thereutik, ist etwas andres als diese beiden. Sie findet ihre Anwendung gegen Thiere und alle die Menschen, welche der Natur zum Trotz sich nicht unterordnen wollen, gewiss ein natürlich berechtigter Krieg.] [Dies die Begriffsbestimmung von Knecht und Herr.] Zugleich erhellt hieraus dass Despotie und Staatsleitung nicht dasselbe sind, noch, wie einige behaupten, alle Regierungsformen sich decken. Denn letztrer unterstehen Freigeborne, jener Sklaven, und während die monarchische Leitung jedes Hausstandes das Hausregiment zur Monarchie macht, ist das Staatsregiment ein Regiment von Freien und Gleichen. ** Denn billig führt er auch über Weiber und Kinder das Regiment, über beide als Freigeborne, doch nicht in derselben Weise, sondern über das Weib ein freistaatliches, über die Kinder ein königliches. Denn der Mann ist von Natur zur Führung geeigneter als das Weib, wenn er nicht zufällig naturwidrig angelegt ist, und der Aeltere und Erwachsene geeigneter als der Jüngere und Unerwachsene. In den meisten freistaatlichen Regierungen tauschen wohl Regent und Regierter wechselnd die Rollen, (denn seitens ihrer Natur verlangen sie Gleichstellung und Unterschiedslosigkeit) sobald aber einer regiert, der andre seiner Regierung untersteht, sucht er durch seine Erscheinung, seine Worte, seine Vorrechte einen Unterschied herzustellen, wie ihn auch Amasis in seinen Bemerkungen über die Fusswanne begründete: der Mann aber steht dem Weibe immer so gegenüber. Das Regiment über die Kinder aber ist ein königliches; denn hier regiert der Erzeuger nach dem Rechte der Zuneigung und des Alters, und das ist eine Art königliches Regiment. Treffend hat daher Homer in den Worten: „Vater der Götter und Menschen“ den Zeus als König von ihnen allen begrüsst. Denn der König muss seinem Wesen nach hervortreten, seinem Geschlechte nach derselbe sein: und das ist die Stellung des Aelteren dem Jüngeren und des Erzeugers den Kindern gegenüber.

** Es ist auch ersichtlich, dass die Oekonomie den Menschen und ihrer Vortrefflichkeit eine grössere Beachtung zu schenken hat, als dem todten Hausrath den wir als Reichthum bezeichnen und seiner Güte, und den Freien eine höhere Beachtung als den Sklaven. Da könnte nun 1) hinsichts der Sklaven die Frage erhoben werden, ob der Sklave ausser seiner Tüchtigkeit als Werkzeug und Diener noch andre höher zu schätzende Seiten hat, beispielsw. Besonnenheit, Tapferkeit, Gerechtigkeit und was dergleichen Eigenschaften mehr sind; oder ob seine körperlichen Dienstleistungen die einzige ist. Wir sind in beiden Fällen in Verlegenheit. Hat er sie, worin unterscheidet sich Sklave und Freier? hat er sie nicht, befremdet es, da er doch ein Mensch ist und Theil an der Vernunft hat. Beinahe dieselbe Frage taucht über Frau und Kind auf. Haben auch sie ihre guten Eigenschaften und muss das Weib besonnen, tapfer und gerecht sein: und gibt es sowohl übermüthige und besonnene Kinder, oder nicht? Im Allgemeinen stellt sich also die Frage über den geborenen Unterthanen und Regenten so, ob ihre Tüchtigkeit dieselbe oder für jeden eine andre ist. Denn steht beiden ein Antheil an der Ehrenfestigkeit zu, warum sollte der eine einfürallemal das Regiment führen, der andre sich unterwerfen? (denn ein Mehr oder Weniger kann nichts verschlagen, da wohl Unterthan und Regent sein, nicht aber mehr oder weniger einen Artunterschied begründen); steht sie aber dem einen zu, dem andern nicht, so ist das wunderlich; denn ist der Regent nicht besonnen und gerecht, wie soll er gut regieren, und ist es der Unterthan nicht, wie soll er gut parieren? Uebermüthig und feig, wie er ist, wird er keine seiner Pflichten erfüllen. Es leuchtet also ein,

δειλὸς οὐδὲν ποιήσει τῶν προσηκόντων. φανερὸν τοίνυν ὅτι ἀνάγκη μὲν μετέχειν ἀμφοτέρους ἀρετῆς, ταύτης δ' εἶναι διαφοράς, ὥσπερ καὶ τῶν φύσει ἀρχόντων καὶ ἀρχομένων. καὶ τοῦτο εὐθὺς ὑφηγεῖται ⟨τὰ⟩ περὶ τὴν ψυχήν· ἐν ταύτῃ γάρ ἐστι φύσει τὸ μὲν ἄρχον τὸ δ' ἀρχόμενον, ὧν ἑτέραν φαμὲν εἶναι ἀρετήν, οἷον τοῦ λόγον ἔχοντος καὶ τοῦ ἀλόγου. δῆλον τοίνυν ὅτι τὸν αὐτὸν τρόπον ἔχει καὶ ἐπὶ τῶν ἄλλων. ὥστε φύσει πλείω τὰ ἄρχοντα καὶ τὰ ἀρχόμενα. ἄλλον γὰρ τρόπον τὸ ἐλεύθερον τοῦ δούλου ἄρχει καὶ τὸ ἄρρεν τοῦ θήλεος καὶ ἀνὴρ παιδός. καὶ πᾶσιν ἐνυπάρχει μὲν τὰ μόρια τῆς ψυχῆς, ἀλλ' ἐνυπάρχει διαφερόντως. ὁ μὲν γὰρ δοῦλος ὅλως οὐκ ἔχει τὸ βουλευτικόν, τὸ δὲ θῆλυ ἔχει μέν, ἀλλ' ἄκυρον, ὁ δὲ παῖς ἔχει μέν, ἀλλ' ἀτελές. διὸ τὸν μὲν ἄρχοντα τελέαν ἔχειν δεῖ τὴν † ἠθικὴν ἀρετὴν (τὸ γὰρ ἔργον ἐστὶν ἁπλῶς τοῦ ἀρχιτέκτονος, ὁ δὲ λόγος ἀρχιτέκτων) τῶν δ' ἄλλων ἕκαστον ὅσον ἐπιβάλλει αὐτοῖς. ὁμοίως τοίνυν ἀναγκαῖον ἔχειν καὶ περὶ τὰς ἠθικὰς ἀρετάς· ὑποληπτέον δεῖν μὲν μετέχειν πάντας, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλ' ὅσον ἑκάστῳ πρὸς τὸ αὑτοῦ ἔργον. ὥστε φανερόν, ὅτι ἔστιν ἠθικὴ ἀρετὴ τῶν εἰρημένων ἁπάντων, καὶ οὐχ ἡ αὐτὴ σωφροσύνη γυναικὸς καὶ ἀνδρός, οὐδ' ἀνδρία καὶ δικαιοσύνη, καθάπερ ᾤετο Σωκράτης, ἀλλ' ἣ μὲν ἀρχικὴ ἀνδρία ἣ δ' ὑπηρετική, ὁμοίως δ' ἔχει καὶ περὶ τὰς ἄλλας. δῆλον δὲ τοῦτο καὶ κατὰ μέρος μᾶλλον ἐπισκοποῦσιν. καθόλου γὰρ οἱ λέγοντες ἐξαπατῶσιν αὑτούς, ὅτι τὸ εὖ ἔχειν τὴν ψυχὴν ἀρετή, ἢ τὸ ὀρθοπραγεῖν, ἤ τι τῶν τοιούτων. πολὺ γὰρ ἄμεινον λέγουσιν οἱ ἐξαριθμοῦντες τὰς ἀρετάς, ὥσπερ Γοργίας, τῶν οὕτως ὁριζομένων. διὸ δεῖ, ὥσπερ ὁ ποιητὴς εἴρηκε περὶ γυναικός, οὕτω νομίζειν ἔχειν περὶ πάντων· „γυναικὶ κόσμον ἡ σιγὴ φέρει", ἀλλ' ἀνδρὶ οὐκέτι τοῦτο. ἐπεὶ δὲ ὁ παῖς ἀτελής, δῆλον ὅτι τούτου μὲν καὶ ἡ ἀρετὴ οὐκ αὐτοῦ πρὸς αὑτόν ἐστιν, ἀλλὰ πρὸς τὸ τέλος καὶ τὸν ἡγούμενον. ὁμοίως δὲ καὶ δούλου πρὸς δεσπότην. ἔθεμεν δὲ πρὸς τἀναγκαῖα χρήσιμον εἶναι τὸν δοῦλον, ὥστε δῆλον ὅτι ἀρετῆς δεῖται μικρᾶς καὶ τοσαύτης ὥστε μήτε δι' ἀκολασίαν μήτε διὰ δειλίαν ἐλλείψειν τῶν ἔργων. [ἀπορήσειε δ' ἄν τις, τὸ νῦν εἰρημένον εἰ ἀληθές, ἆρα καὶ τοὺς τεχνίτας δεήσει ἔχειν ἀρετήν (πολλάκις γὰρ δι' ἀκολασίαν ἐλλείπουσι τῶν ἔργων), ἢ ⟨οὔ. ἀναγκαῖον δὲ⟩ διαφέρει⟨ν⟩ τοῦτο πλεῖστον. ὁ μὲν γὰρ δοῦλος κοινωνὸς ζωῆς, ὁ δὲ πορρώτερον, καὶ τοσοῦτον ἐπιβαλεῖται ἀρετῆς ὅσονπερ καὶ δουλείας. ὁ γὰρ βάναυσος τεχνίτης ἀφωρισμένην τινὰ ἔχει δουλείαν, καὶ ὁ μὲν δοῦλος τῶν φύσει, σκυτοτόμος δ' οὐδείς, οὐδὲ τῶν ἄλλων τεχνιτῶν.] φανερὸν τοίνυν ὅτι τῆς τοιαύτης ἀρετῆς αἴτιον εἶναι δεῖ τῷ δούλῳ τὸν δεσπότην, ἀλλ' οὐ ⟨τὸν⟩ τὴν διδασκαλικὴν ἔχοντα τῶν ἔργων. διὸ λέγουσιν οὐ καλῶς οἱ λόγου τοὺς δούλους ἀποστεροῦντες καὶ φάσκοντες ἐπιτάξει δεσποτικῇ χρῆσθαι μόνον. νουθετητέον γὰρ μᾶλλον τοὺς δούλους ἢ τοὺς παῖδας.

Ἀλλὰ περὶ μὲν τούτων διωρίσθω τὸν τρόπον τοῦτον. περὶ δ' ἀνδρὸς καὶ γυναικός, καὶ τέκνων καὶ πατρός, τῆς τε περὶ ἕκαστον ἀρετῆς καὶ τῆς πρὸς σφᾶς αὐτοὺς ὁμιλίας, τί τὸ καλῶς καὶ τὸ μὴ καλῶς ἐστί, καὶ πῶς δεῖ τὸ μὲν εὖ διώκειν, τὸ δὲ κακῶς φεύγειν, ἐν τοῖς περὶ [τὰς] πολιτείας ἀναγκαῖον διελθεῖν. ἐπεὶ γὰρ οἰκία μὲν πᾶσα μέρος πόλεως, ταῦτα δ' οἰκίας, τὴν δὲ τοῦ μέρους πρὸς τὴν τοῦ ὅλου δεῖ βλέπειν ἀρετήν, ἀναγκαῖον πρὸς τὴν

